ἰὼ ἰώ,
καιναὶ καινῶν μεταβάλλουσαι
χθονὶ συντυχίαι. λεύσσετε Τρώων
τόνδ᾽ Ἀστυάνακτ᾽ ἄλοχοι μέλεαι
νεκρόν, ὃν πύργων δίσκημα πικρὸν
Δαναοὶ κτείναντες ἔχουσιν.

ΤΑ. Ἑκάβη, νεὼς μὲν πίτυλος εἷς λελειμμένος
λάφυρα τἀπίλοιπ᾽ Ἀχιλλείου τόκου
μέλλει πρὸς ἀκτὰς ναυστολεῖν Φθιώτιδας·
αὐτὸς δ᾽ ἀνῆκται Νεοπτόλεμος, καινάς τινας
Πηλέως ἀκούσας συμφοράς, ὥς νιν χθονὸς
Ἄκαστος ἐκβέβληκεν, ὁ Πελίου γόνος.
οὗ θᾶσσον οὕνεκ᾽ ἢ χάριν μονῆς ἔχων
φροῦδος, μετ᾽ αὐτοῦ δ᾽ Ἀνδρομάχη, πολλῶν ἐμοὶ
δακρύων ἀγωγός, ἡνίκ᾽ ἐξώρμα χθονὸς
πάτραν τ᾽ ἀναστένουσα καὶ τὸν Ἕκτορος
τύμβον προσεννέπουσα. καί σφ᾽ ᾐτήσατο
θάψαι νεκρὸν τόνδ᾽, ὃς πεσὼν ἐκ τειχέων
ψυχὴν ἀφῆκεν Ἕκτορος τοῦ σοῦ γόνος,
φόβον τ᾽ Ἀχαιῶν, χαλκόνωτον ἀσπίδα
τήνδ᾽, ἣν πατὴρ τοῦδ᾽ ἀμφὶ πλεύρ᾽ ἐβάλλετο,
μή νιν πορεῦσαι Πηλέως ἐφ᾽ ἑστίαν,
μηδ᾽ εἰς τὸν αὐτὸν θάλαμον, οὗ νυμφεύσεται
μήτηρ νεκροῦ τοῦδ᾽ Ἀνδρομάχη, λύπας ὁρᾶν,
ἀλλ᾽ ἀντὶ κέδρου περιβόλων τε λαΐνων
ἐν τῇδε θάψαι παῖδα· σὰς δ᾽ ἐς ὠλένας
δοῦναι, πέπλοισιν ὡς περιστείλῃς νεκρὸν
στεφάνοις θ᾽, ὅση σοι δύναμις, ὡς ἔχει τὰ σά,
ἐπεὶ βέβηκε καὶ τὸ δεσπότου τάχος
ἀφείλετ᾽ αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ.

---

1118. *καινά* BCG 1122. *κτείναντες* G *κτείνοντες* fere ceteri. 1130. *τ᾽ B* 1131. *ἐξορμᾶ B* 1132. *τ᾽* om. *B* 1141. *τ᾽ ἐλαΐνων* BCG